UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Hermino Comiti. 43.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Ἑρμίνῳ κόμητι. μγ.

Ὑπόθες.

Ἀπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ἐξορκιῶ σε τὸν θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἐνετείλατο τελευτῶν ὁ Ἀβραὰμ τῷ οἰκέτῃ, τὸν ἐκ τῶν μηρῶν αὐτοῦ μέλλοντα σαρκοῦσθαι θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς τὸν κύριον ἡμῶν καὶ δεσπότην χριστὸν, καθαρότητι διανοίας ὁρῶν μέλλοντα τοῦ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεσθαι, ὡς προφήτης καὶ βλέπων τὰ ἔμπροσθεν.

*Hermino Comiti.* 43.

Pone manum tuam ſuper femur meũ, & adiurabo te per Deum cæli & terræ, imperauit ſeruo ſuo Abraham morti propinquus. Nimirum eum, qui ex ipſius femore carnem aſſumpturus erat, Deum cæli & terræ, Dominum noſtrum & herum Ieſum Chriſtum, Abrahæ ſemen apprehenſurum, pro ſua animi puritate cernẽs, vt Propheta, & ea, quæ à fronte erant, conſpiciens. Gen.24. Heb.2.

Μωσῇ ἐπισκόπῳ. μδ.

Οὐ χρὴ τὰς τῶν πενήτων τροφὰς ἀδοκιμάστως διανέμειν, ἀλλ' ἐκεῖνο πεπεῖσθαι τὸν ταύτας οἰκονομεῖν τεταγμένον, ὡς εἴ τι πέρα τοῦ δέοντος ἀνάλωται, ἱεροσυλίας αὐτὸν καθίστησιν ὑπεύθυνον ἐγκλήμασι.

οἷς χρὴ, ἀλλ' ἐκεῖνον πεπιστεῦσθαι.

*Moſi Epiſcopo.* 44.

Pauperum alimenta non temerè ac ſine iudicio diſtribuere oportet quibus oportet: verùm illud perſuaſum habere debet is, cui eorum cura & adminiſtratio commiſſa eſt, quòd ſi quid, contrà quàm opus ſit, impenſum fuerit, ſacrilegij reum ſeipſum conſtituit.

Μαρτυρίῳ ἐπισκόπῳ. με.

Παρέργως ποιῇ τὴν τῶν θείων νόμων ἀνάγνωσιν, ἢ καὶ αὐτὴν ἀγνοεῖς τὴν ἀνάγνωσιν. ἡνίκα γὰρ εἰς τὸν θεῖον ναὸν ἱερουργεῖν Ἀαρὼν, καὶ οἱ ἐξ ἐκείνου εἰσῄεσαν, πάντα τὰ ἐξ ἐρίας ἀποτιθέντες ἐσθήματα, στολὰς ἐκ λίνου, παρεβάλλοντο ἐχούσας καὶ τὸ ἀπόρρητον, καὶ τῶν ἔξω θορύβων ἐπιλησμονεῖν σημαινούσας. ὁ γὰρ θεῷ λειτουργεῖν προσιὼν, οὐδὲν ἀλλότριον καὶ τῆς ὕλης ἐφόλκιον ἐπιφέρεσθαι δίκαιος. εἰ τοίνυν μετὰ τοιαῦτα τεκμήρια βιάζεσθαι κατατολμᾷς τὴν ἀλήθειαν, συγχύσεις καὶ φλυαρίας ἐπεισφέρων τοῖς ἀνακτόροις, οἷς πᾶσα σιγὴ κεχρεώστηται ὁμιλίας ἀτόπους, χειροθεσίας ἀθέσμους, εἰς ἔσχατον πέπεισο ἐξωθῶν σαυτὸν κατακρίσεως κίνδυνον.

περιεβάλλοντο. τὸ ἀπειρημένον.

*Martyrio Epiſcopo.* 45.

Obiter ac defunctoriè leges diuinas legis, aut etiam lectionem ipſam ignoras. Exo.28.
Cùm enim Aaron eiuſque ſucceſſores in templum ſacrificij cauſa ingrediebantur, laneis omnibus veſtimentis abiectis, veſtes ex lino contextas induebant, arcani aliquid continentes, atque illud ſignificantes, externos tumultus tum de memoria deponendos eſſe. Nam qui rei ſacræ cauſa ad Deum accedit, nihil alienum, nec vllã rerum ex materia cõſtantiũ ſarcinam ſecũ afferre debet. Quamobrem ſi poſt huiuſmodi coniecturas audacia & temeritate ductus veritati vim afferre coneris, confuſiones ac nugas templis (quibus ſilentium omne debetur) colloquiaq́; turpia & præpoſtera, nefariáſque manuum impoſitiones inferens, hoc perſuaſum habe, quòd in extremum cõdemnationis & exitij periculum teipſum impelles.

Μηνᾷ σχολαστικῷ. μϛ.

Τὰ πράγματα λόγων οὐ χρήζει. αὐτὰ γάρ ἐστι φαινόμενα. οἱ λόγοι δὲ

*Menæ Scholaſtico.* 46.

Actiones ſermonibus haud indigent. illæ enim apparent: ſermones autem potiùs,